βοτρύων θοᾶς ἐχίδνας
σταγόσι μιγνυμένας φόνῳ·
φανερὰ θύματα νερτέρων,
συμφοραὶ μὲν ἐμῷ βίῳ,
λεύσιμοι δὲ καταφθοραὶ δεσποίνᾳ.
τίνα φυγὰν πτερόεσσαν ἢ
χθονὸς ὑπὸ σκοτίων μυχῶν
πορευθῶ, θανάτου λεύσιμον ἄταν
ἀποφεύγουσα, τεθρίππων
ὠκίσταν χαλὰν ἐπιβᾶσ᾽,
ἢ πρύμνας ἐπὶ ναῶν;
οὐκ ἔστι λαθεῖν, ὅτε μὴ χρῄζων
θεὸς ἐκκλέπτει.
τί ποτ᾽, ὦ μελέα δέσποινα, μένει
ψυχῇ σε παθεῖν; ἆρα θέλουσαι
δρᾶσαί τι κακὸν τοὺς πέλας αὐταὶ
πεισόμεθ᾽, ὥσπερ τὸ δίκαιον;

ΚΡ. πρόσπολοι, διωκόμεσθα θανασίμους ἐπὶ σφαγάς,
Πυθίᾳ ψήφῳ κρατηθεῖσ᾽, ἔκδοτος δὲ γίγνομαι.

ΧΟ. ἴσμεν, ὦ τάλαινα, τὰς σὰς συμφοράς, ἵν᾽ εἶ τύχης.

ΚΡ. ποῖ φύγω δῆτ᾽; ἐκ γὰρ οἴκων προὔλαβον μόγις πόδα
μὴ θανεῖν, κλοπῇ δ᾽ ἀφῖγμαι διαφυγοῦσα πολεμίους.

ΧΟ. ποῖ δ᾽ ἂν ἄλλοσ᾽ ἢ ᾽πὶ βωμόν; ΚΡ. καὶ τί μοι πλέον τόδε;

ΧΟ. ἱκέτιν οὐ θέμις φονεύειν. ΚΡ. τῷ νόμῳ δέ γ᾽ ὄλλυμαι.

ΧΟ. χειρία γ᾽ ἁλοῦσα. ΚΡ. καὶ μὴν οἵδ᾽ ἀγωνισταὶ πικροὶ
δεῦρ᾽ ἐπείγονται ξιφήρεις. ΧΟ. ἵζε νυν πυρᾶς ἔπι.
κἂν θάνῃς γὰρ ἐνθάδ᾽ οὖσα, τοῖς ἀποκτείνασί σε

---

1237. *δεσποίνᾳ*] Hermannus, *δέσποινα* libri. 1244. *λαθεῖν*] Stephanus, *λαβεῖν* libri. 1246. *μένει*] Portus, *μέλει* libri. 1251. *πυθίᾳ* B *πυθίῳ* C 1252. *ἵν᾽ εἶ τύχης*] Scaliger, *ἵν᾽ εὐτυχεῖς* libri. 1253. *οἴκων*] Porsonus, *ἄκων* libri.